ζημιούμενοι, ταῦτα λέγῃ. Καὶ γὰρ ὡς ἀληθῶς, εἰ μέν, ὅσ᾽ ἂν τῷ λόγῳ τις ὑπερβῇ λυπῆσαι μὴ βουλόμενος, καὶ τὰ πράγμαθ᾽ ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ᾽ ἡ τῶν λόγων χάρις, ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστιν φενακίζειν ἑαυτοὺς καὶ μετὰ τῆς ἐσχάτης ἀνάγκης πρᾶξαι ταῦθ᾽ ἃ πάλαι ᾽θελοντὰς προσῆκεν ποιεῖν.

## Β

1 Οὐχὶ ταὐτὰ γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, παρίσταταί μοι, ὅταν τε τὸ τῆς πολιτείας ὄνομ᾽ ὑμῶν ἀκούσω, καὶ ὅταν τὸν τρόπον ὃν προσφέρονταί τινες ὑμῶν τοῖς ὑπὲρ ταύτης λέγουσιν ἴδω. Τὴν μὲν γὰρ πολιτείαν δημοκρατίαν, ὥσπερ ἅπαντες ἴστε, ὀνομάζετε, τῶν δὲ τἀναντία ταύτῃ λεγόντων ἐνίους ἥδιον ἀκούοντας ὁρῶ. 2 Ὃ καὶ θαυμάζω τίς ποθ᾽ ἡ πρόφασις. Πότερον προῖκα λέγειν ταῦτ᾽ αὐτοὺς οἴεσθε; Ἀλλ᾽ οἱ τῶν ὀλιγαρχιῶν, ὑπὲρ ὧν οὗτοι | λέγουσιν, κύριοι καὶ πλείω σιωπῇ μᾶλλον ἂν δοῖεν. Ἀλλὰ βελτίω ταῦτ᾽ εἶναι τῶν ἑτέρων ὑπειλήφατε; Βελτίων ἄρ᾽ ὑμῖν ὀλιγαρχία δημοκρατίας φαίνεται. Ἀλλ᾽ αὐτοὺς εἶναι βελτίους ἡγεῖσθε; Καὶ τίς ἂν ὑφ᾽ ὑμῶν χρηστὸς νομίζοιτ᾽ εἰκότως, ἐναντία τῇ καθεστώσῃ πολιτείᾳ δημηγορῶν; Οὐκοῦν λοιπὸν ἁμαρτάνειν ὑμᾶς, ὅταν οὕτως ἔχητε τὴν γνώμην. Τοῦτο τοίνυν φυλάττεσθε μὴ πάσχειν, ὦ ἄνδρες Ἀθηναῖοι,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416057004/8 UNIVERSITÄT LEIPZIG